*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

************************************************************


**Δρος Χαραλάμπους Μ. Μπούσια**

Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας


# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΕΝ ΟΣΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΑΘΑΝΑΣΙΟΝ

# ΤΟΥΠΙΚΛΗΝ ΧΑΜΑΚΙΩΤΗΝ

## ΤΟΝ ΑΓΑΘΟΝ ΛΕΥΪΤΗΝ

### ΤΗΣ ΝΕΡΑΤΖΙΩΤΙΣΣΗΣ ΑΜΑΡΟΥΣΙΟΥ

### ΚΑΙ ΚΤΙΡΟΡΑ ΤΟΥ ΕΝ ΜΠΑΛᾼ ΗΣΥΧΑΣΤΗΡΙΟΥ

### ΠΑΝΑΓΙΑΣ ΤΗΣ ΦΑΝΕΡΩΜΕΝΗΣ

*

*

*   *   *   *   *

*

*


Ἀθῆναι 2014

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΕΝ ΟΣΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΑΘΑΝΑΣΙΟΝ

# ΤΟΥΠΙΚΛΗΝ ΧΑΜΑΚΙΩΤΗΝ

## ΤΟΝ ΑΓΑΘΟΝ ΛΕΥΪΤΗΝ

### ΤΗΣ ΝΕΡΑΤΖΙΩΤΙΣΣΗΣ ΑΜΑΡΟΥΣΙΟΥ

### ΚΑΙ ΚΤΙΡΟΡΑ ΤΟΥ ΕΝ ΜΠΑΛᾼ ΗΣΥΧΑΣΤΗΡΙΟΥ

### ΠΑΝΑΓΙΑΣ ΤΗΣ ΦΑΝΕΡΩΜΕΝΗΣ

**Ἡ μνήμη αὐτοῦ ἄγεται τῇ ΙΖ΄ Αὐγούστου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

**********************************************
************************

**Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος δ΄ . Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Ἀμαρουσίου τὸν θεόπνουν λευΐτην,
ἀθανασίας τὸν φερώνυμον, ὕμνοις
ὡς τρυχομένων στήριγμα καὶ θεῖον τροφὸν
τῶν πεινώντων μέλψωμεν, Ἀθανάσιον πάνυ,
καὶ αὐτῷ προσπέσωμεν εὐλαβῶς ἐκβοῶντες·
Εὐχαῖς σου πέμψον ἔλεος ἡμῖν
τοῦ φιλανθρώπου, σεπτέ, Παντοκράτορος.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·**

**" Ἀθανάσιε μάκαρ, εὐποιεῖν με ἀξίωσον. Χ.Μ."**

**ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Ἁγίασον πάντας τοὺς εὐλαβῶς
ὑμνοῦντας ἀγῶνας,
Ἀθανάσιε ἱερέ,
οὓς ἔτλης πρὸς δόξαν τοῦ Ὑψίστου
καὶ κουφισμὸν ἀναγκῶν τῶν προσφύγων σου.

Θειότατε πάτερ, νεολαμπὲς
Νερατζιωτίσσης
ἄστρον, ζόφωσιν τῶν παθῶν
ἡμῶν λῦσον, πάνσοφε, ἀκτῖσι
θεοπειθῶν σου εὐχῶν, Ἀθανάσιε.

Ἀξίωσον πάντας ἡμᾶς τυχεῖν
εὐκλείας τοῦ πόλου,
Ἀθανάσε, ἧς καλῶς
ἐλέους ὡς κρήνη ἀπολαύεις
καὶ ταπεινώσεως εὔοσμον λείριον.

**Θεοτοκίον.**

Ναοῦ σου λευΐτου τοῦ ἱεροῦ
ἐν Ἀμαρουσίῳ
ἱκεσίαις, Μῆτερ Θεοῦ,
καὶ κτίτορος Μάνδρας σου ἐν Μπάλᾳ,
παράσχου πᾶσιν Υἱοῦ σου τὸ ἔλεος.

**ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Ἀρετῆς κοσμιότης,
κενωτικῆς ἔσοπτρον
προσφορᾶς πρὸς ἔχοντας χρείαν
φῶς, Ἀθανάσιε,
μὴ διαλείπῃς Χριστὸν
ὑπὲρ ἡμῶν ἱκετεύων
τῶν τιμώντων μνήμην σου
τὴν πανσεβάσμιον.

Σαῖς εὐχαῖς ἐν ἀνάγκαις

καὶ συμφοραῖς σπεύδομεν,
Ἱερεῦ Θεοῦ τοῦ Ὑψίστου,
πάτερ πανόσιε,
τὸν τῆς ἀγάπης φανὸν
καὶ συμπαθείας φωστῆρα,
μάκαρ Ἀθανάσιε,
πάντα πρὸς στένοντα.

Ἱερώτατον σκεῦος
τοῦ πανσθενοῦς Πνεύματος,
τῇ Φανερωμένῃ Παρθένῳ
Μάνδραν περίλαμπρον
ὁ ἀνεγείρας, αὐτῆς
λιταῖς κατάπεμψον πᾶσι
χάριν, Ἀθανάσιε,
τὴν ἐνοικοῦσάν σοι.

**Θεοτοκίον.**

Ἐπευλόγει σοὺς δούλους,
Λόγου Θεοῦ, ἄχραντε
Μῆτερ, καὶ ἁγίαζε πάντας
σὲ μεγαλύνοντας
ὡς θαυμασίων πηγὴν
καὶ ἀντιλήψεως θείας
πρὸς πιστούς σου πρόσφυγας
φρέαρ ἀκένωτον.

Ὁδήγησον
ἀθανασίας πρὸς δόμους τοὺς σοὺς ἱκέτας,
Ἀθανάσιε, Ἱερεῦ Ναοῦ ἐνθεώτατε
Νερατζιωτίσσης Ὁδηγητρίας.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

Ἐλέους πηγή, τοῦ Παρακλήτου σκήνωμα,
ψυχῶν ποδηγὲ πρὸς ἀρετῆς τελείωσιν,
πάτερ Ἀθανάσιε,

κλονουμένων ἄσειστον στήριγμα,
Χριστοῦ τὸ μέγα ἔλεος ἡμῖν
κατάπεμψον πᾶσι τοῖς ὑμνοῦσί σε.

**ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Μιμητής, Ἀθανάσιε,
τοῦ παντελεήμονος πέλων Κτίσαντος,
οἰκτιρμῶν σου σπάγχνα δεῖξόν μοι,
τῷ πιστῶς προσφεύγοντι σῇ χάριτι.

Ἀμαρούσιον γάνυται
ταῖς εὐεργεσίαις σου, Ἀθανάσιε
μάκαρ, καὶ Νερατζιώτισσα,
ἱερατικῇ διακονίᾳ σου.

Κόπασόν μου τὸν τάραχον
τῶν παθῶν καὶ θλίψεων, Ἀθανάσιε,
θλιβομένων ἡ ἀνάψυξις
καὶ χειμαζομένων ἡ ἀντίληψις.

**Θεοτοκίον.**

Ἀφθαρσίας πρὸς δώματα
ἴθυνον ἱκέτας σου, Μητροπάρθενε,
Κεχαριτωμένη Δέσποινα,
τοῦ Ἀθανασίου παρακλήσεσι.

**ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.**

Ῥῦσαι πειρασμῶν,
Ἀθανάσιε, συμπτώσεων
καὶ κινδύνων τοὺς προστρέχοντας πιστῶς
προσκυνῆσαι τὴν σορὸν σεπτῶν λειψάνων σου.

Ἔμπλησον χαρᾶς
τὰς καρδίας τῶν τιμώντων σε,
Ἀθανάσιε, ὡς πάντων εὐσεβῶν
ὀλετῆρα λυπηρῶν δεινῶν καὶ θλίψεων.

Ὕμνοις σε φαιδροῖς
εὐφημοῦμεν, Ἀθανάσιε,
τὸν ἀνύστακτον ψυχῶν χειραγωγὸν
ἀρετῆς πρὸς ὁλοκλήρωσιν καὶ θέωσιν.

**Θεοτοκίον.**

Πράϋνον ἡμῶν
τοῦ σαρκίου τὰ σκιρτήματα,
Θεοτόκε, τῶν ἐν ὕμνοις καὶ ψαλμοῖς
ὡς διάσωσμα βροτῶν μεγαλυνόντων σε.

**ᾨδὴ στ΄. Τὴν δέησιν.**

Ὁ ἔνθεος λειτουργὸς τοῦ Κτίσαντος,
Ἀθανάσιε, σεπτῶν Μυστηρίων,
τῆς Θεοτόκου Νερατζιωτίσσης,
ὁ ἁγιάσας Ναὸν τοῖς ἀγῶσί σου,
τὸν βίον σοῦ τῶν ὑμνητῶν
καὶ τὰ ἔργα ἀεὶ καθαγίαζε.

Ἱλέωσαι πᾶσιν, Ἀθανάσιε,
τὸν Χριστὸν ἡμῖν τοῖς σπεύδουσι πόθῳ
ἐγκωμιάσαι σεμνὴν ἀγωγήν σου
καὶ εὐποιΐας σου πράξεις, ἀοίδιμε,
δι' ὧν οἰκτίρμονι Θεῷ
ἐν ἐσχάτοις καιροῖς εὐηρέστησας.

Ἐπίβλεψον ἐφ' ἡμᾶς ὡς εὔσπλαγχνος,
Ἀθανάσιε, Νερατζιωτίσσης
κοσμῆτορ νέε καὶ θεῖε δομῆτορ
Φανερωμένης Μονῆς, ἱερώτατε,
ὁ καταδείξας οἰκτιρμῶν
σπλάγχνα πᾶσιν ἀλγοῦσι καὶ κάμνουσι.

**Θεοτοκίον.**

Ἱκέτας σου οὐρανῶν οἰκήτορας,
Κεχαριτωμένη Δέσποινα, δεῖξον,
Ἀθανασίου τοὺς μέλποντας πόνους
καὶ τὸν Υἱόν σου ἐκθύμως δοξάζοντας,

τὸν ἀγαθόδωρον Χριστόν,
πᾶσι νέμοντα πλούσιον ἔλεος.

Ὁδήγησον
ἀθανασίας πρὸς δόμους τοὺς σοὺς ἱκέτας,
Ἀθανάσιε, Ἱερεῦ Ναοῦ ἐνθεώτατε

Νερατζιωτίσσης Ὁδηγητρίας.

**Ἄ**χραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

**Τ**ῶν Καλαβρύτων τὸ ἔνθεον βλάστημα,
Ἀμαρουσίου πολύτιμον κόσμημα
καὶ τοῦ ἐν Μπάλᾳ Σεμνείου δομήτορα
νῦν Ἀθανάσιον ὕμνοις τιμήσωμεν
ὡς εὐσεβῶν ἀκλινῆ ἀντιλήπτορα.

**Προκείμενον. Ἦχος δ΄.**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

**Εὐαγγέλιον· κατὰ Λουκᾶν (Κεφ. στ΄ 17 - 33 ).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ....

**Δόξα.** Ταῖς τοῦ Σοῦ Λευΐτου πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,...

**Ἰδιόμελον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

**Π**άτερ Ἀθανάσιε,
Ἀμαρουσίου κοσμῆτορ,
Καλαβρύτων βλάστημα,
Ἱερέων σέμνωμα
καὶ θησαύρισμα
τιμαλφὲς πίστεως,
τῆς Φανερωμένης
τῆς Μονῆς δομῆτορ ἔνθεε,
ὡς καταφύγιον
πάντων τῶν ἐκθύμως τιμώντων σε,
κατεύθυνον σοὺς πρόσφυγας
ἀπλανῶς εὐχαῖς σου πρὸς θέωσιν

καὶ θεόθεν πέμψον
ἡμῖν τὸ μέγα ἔλεος Θεοῦ,
τοῦ πανοικτίρμονος Κτίσαντος
καὶ παντελεήμονος.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

**ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Νεοφώτιστον σέλας
τοῦ Χριστοῦ Ἐκκλησίας,
φαιδραῖς ἀκτῖσί σου
τῆς ἐλεημοσύνης
καὶ ἄκρας συμπαθείας
πρὸς ἀλγοῦντας καὶ στένοντας
ὁ λάμψας ἄρτι, παθῶν
ἡμῶν τὸν ζόφον λῦσον.

Μάνδρας Φανερωμένης
θεῖε κτίτορ, λειψάνων
αὐτὴν τῇ θήκῃ σου
ἀεὶ καθαγιάζεις
καὶ πάντας θεραπεύεις
τοὺς αὐτὴν μετὰ πίστεως
ἀσπαζομένους, σεπτὲ
θεραπευτὰ νοσούντων.

Ἐκ τῆς γῆς τῶν λαγόνων,
Ἀθανάσιε, ἄρτι
ἀνεκομίσθησαν
τὰ χαριτόβρυτά σου
ὀστέα πρὸς ἁπάντων
χαρμονὴν τῶν τιμώντων σε
καὶ καταισχύνην ἐχθροῦ
τοῦ βροτοκτόνου, πάτερ.

**Θεοτοκίον.**

Ἀειπάρθενε Μῆτερ,
τοὺς προστρέχοντας πίστει
Ναῷ πανσέπτῳ σου,
σεμνὴ Φανερωμένη,
ἁγίαζε καὶ ῥύου
ἐπωδύνων κακώσεων,

Ἀθανασίου σεπτοῦ
εὐχαῖς, Θεογεννῆτορ.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Ξενίας θείας
τυχεῖν ἀξίωσον πάντας,
Ἀθανάσιε, σὲ ἀνυμνοῦντας
ὡς σεπτὸν λευΐτην
Χριστοῦ τῆς Ἐκκλησίας.

Ἰδεῖν τὸ κάλλος
Χριστοῦ ἡμᾶς μετὰ πότμον,
Ἀθανάσιε, σαῖς ἱκεσίαις
ταῖς θεοπειθέσιν
ἀξίωσον, παμμάκαρ.

Ὡς ποδηγέτην
Ἀμαρουρίου ἐνοίκων,
Ἀθανάσιε, σὲ ἀνυμνοῦντες
ἀπλανῆ εὐχάς σου
αἰτούμεθα τὰς θείας.

**Θεοτοκίον.**

Συντήρει πάντας
τῆς ἐπηρείας ἐχθίστου
ἀσινεῖς, Θεοτόκε Παρθένε,
Κεχαριτωμένη,
εὐχαῖς Ἀθανασίου.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Ὁσίων Ἱερέων
καύχημα τὸ νέον,
μὴ διαλείπῃς Χριστόν, Ἀθανάσιε,
καθικετεύων ἀπαύστως ὑπὲρ προσφύγων σου.

Νικήτορας ἐν μάχαις
κατ’ ἐχθίστου δεῖξον
τοὺς σὲ τιμῶντας λαμπρῶς, Ἀθανάσιε,
θριαμβευτὴν ὡς κακίας αὐτοῦ καὶ μήνιος.

Χαρίτων ἐκμαγεῖον,
Ἱερεῦ Ὑψίστου,
τῶν ἱκετῶν σου, σεπτὲ Ἀθανάσιε,
σὲ ταπεινῶς ἀνυμνούντων ἀεὶ μνημόνευε.

**Θεοτοκίον.**

Μὴ παύσῃ, Θεοτόκε,
Κεχαριτωμένη,
ἐπευλογοῦσα ἡμᾶς καὶ στηρίζουσα
ἐν βίου δίναις τοὺς πίστει σε μακαρίζοντας.

**Ἄξιόν ἐστι....καὶ τὰ παρόντα Μεγαλυνάρια·**

Χαίροις, ταπεινώσεως ἡ εἰκών,
ἐλεημοσύνης,
Ἀθανάσιε, ὁ λειμών,
Νερατζιωτίσσης
ὁ ἱερὸς λευΐτης
καὶ ἀπλανὴς ἰθύντωρ
πάντων πρὸς θέωσιν.

Χαίρει Ἀμαρούσιον ἀγωγῇ
τῇ θεοφιλεῖ σου,
Ἀθανάσιε καὶ Μονὴ
τῆς Φανερωμένης
κτιτορικοῖς σου μόχθοις,
σὺν τοῖς χοροῖς πενήτων,
οὓς εὐηργέτησας.

Χαίροις, Καλαβρύτων γόνος λαμπρός,
βλάστημα Τουρλάδας
καὶ ἀνάστημα ἱερὸν
τῆς Μονῆς τῆς Λαύρας,
λευῖτα θεοφόρε,
θησαύρισμα χαρίτων,
ὦ Ἀθανάσιε.

Πάτερ Ἀθανάσιε, ἐν κρυπτῷ
ἅπαντας ἠλέεις
τρυχομένους καὶ ἀκλινῶς
ηὔχου τῷ Κυρίῳ
ὑπὲρ ἐμπεριστάτων,

νοσούντων καὶ καμνόντων
ὡς εὐσυμπάθητος.

Πάντας προσκυνοῦντας πανευλαβῶς
θήκην σου λειψάνων,
Ἀθανάσιε, συμφορῶν
ῥῦσαι καὶ κινδύνων
παντοδαπῶν, λευῗτα
Χριστοῦ τῆς Ἐκκλησίας
πνευματοκίνητε.

Ἔχων παῤῥησίαν πρὸς τὸν Θεὸν
ὥσπερ ἐλεήμων,
Ἀθανάσιε, ἱερεὺς
καὶ σεπτὸς ἰθύντωρ
πιστῶν πρὸς σωτηρίαν,
Αὐτὸν τοῖς σὲ τιμῶσι,
πάτερ, ἱλέωσαι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**

**Ἀπολυτίκιον.Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Ἀθανάτων βραβείων δι’ ἀγαθότητα
ἀξιωθέντα λευΐτην
Ἀμαρουσίου σεμνόν,
Ἀθανάσιον, τιμήσωμεν ὡς Χάριτος
ῥεῖθρον ποτίζον εὐσεβῶν
τὰς καρδίας πρὸς καρπὸν
πολύφορον σωτηρίας
βοῶντες· Ἴσθι ἀκέστωρ
θερμὸς καὶ φύλαξ τῶν προσφύγων σου.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

Σκέπε καὶ ἁγίαζε ἀεὶ
Νερατζιωτίσσης λευῗτα
θεοειδὲς καὶ σεπτὲ
Μάνδρας, Ἀθανάσιε,
ἐν Μπάλᾳ, Ὅσιε,
τῆς σεμνῆς Θεομήτορος,
Πεφανερωμένης,
τοὺς πιστῶς τιμῶντάς σε
καὶ ἱκεσίαις σου
σπεύδοντας ἐν βίου ἀνάγκαις,
συμφοραῖς καὶ θλίψεσι, πάτερ,
συμπαθείας τέμενος χρυσότευκτον.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Δίστιχον.**

**Μάνδραν σου περίσκεπε, Ἀθανάσιε,**
**σὺν Κυρίλλῳ σεμνῷ, Χαραλάμπης ψάλλει.**

**Ἀριθμ. Καταλ. Π 641 / 13-11-14**

**Τ Ε Λ Ο Σ ΚΑ Ι Δ Ο Ξ Α**

**Τ Ω Μ Ο Ν Ω Α Λ Η Θ Ι Ν Ω**

**Θ Ε Ω Η Μ Ω Ν**